# Proceedings of the 9th International Conference on Greek Linguistics

**29–31 October 2009**
**University of Chicago**
**Chicago, Illinois**

**Edited by**
**Katerina Chatzopoulou**
**Alexandra Ioannidou**
**Suwon Yoon**

Πρῶτον δεῖ θέσθαι τί ὄνομα καὶ τί ῥῆμα,
ἔπειτα τί ἐστιν ἀπόφασις καὶ κατάφασις
καὶ ἀπόφανσις καὶ λόγος.
Ἔστι μὲν οὖν τὰ ἐν τῇ φωνῇ
τῶν ἐν τῇ ψυχῇ παθημάτων σύμβολα
καὶ τὰ γραφόμενα τῶν ἐν τῇ φωνῇ.
καὶ ὥσπερ οὐδὲ γράμματα πᾶσι τὰ αὐτά,
οὐδὲ φωναὶ αἱ αὐταί·
ὧν μέντοι ταῦτα σημεῖα πρώτων,
ταὐτὰ πᾶσι παθήματα τῆς ψυχῆς,
καὶ ὧν ταῦτα ὁμοιώματα
πράγματα ἤδη ταὐτά [...]
ἔστι δέ, ὥσπερ ἐν τῇ ψυχῇ ὁτὲ μὲν νόημα
ἄνευ τοῦ ἀληθεύειν ἢ ψεύδεσθαι
ὁτὲ δὲ ἤδη ᾧ ἀνάγκη
τούτων ὑπάρχειν θάτερον,
οὕτω καὶ ἐν τῇ φωνῇ·
περὶ γὰρ σύνθεσιν καὶ διαίρεσίν
ἐστι τὸ ψεῦδός τε καὶ τὸ ἀληθές.
τὰ μὲν οὖν ὀνόματα αὐτὰ καὶ τὰ ῥήματα
ἔοικε τῷ ἄνευ συνθέσεως καὶ διαιρέσεως νοήματι,
οἷον τὸ ἄνθρωπος ἢ λευκόν,
ὅταν μὴ προστεθῇ τι·
οὔτε γὰρ ψεῦδος οὔτε ἀληθές πω.
σημεῖον δ᾽ ἐστὶ τοῦδε·
καὶ γὰρ ὁ τραγέλαφος σημαίνει μέν τι,
οὔπω δὲ ἀληθὲς ἢ ψεῦδος,
ἐὰν μὴ τὸ εἶναι ἢ μὴ εἶναι προστεθῇ
ἢ ἁπλῶς ἢ κατὰ χρόνον.
Ὄνομα μὲν οὖν ἐστὶ φωνὴ σημαντικὴ
κατὰ συνθήκην ἄνευ χρόνου,
ἧς μηδὲν μέρος ἐστὶ σημαντικὸν κεχωρισμένον·
ἐν γὰρ τῷ Κάλλιππος τὸ ιππος
οὐδὲν καθ᾽ αὑτὸ σημαίνει,
ὥσπερ ἐν τῷ λόγῳ τῷ καλὸς ἵππος.
οὐ μὴν οὐδ᾽ ὥσπερ ἐν τοῖς ἁπλοῖς ὀνόμασιν,
οὕτως ἔχει και`ἐν τοῖς πεπλεγμένοις·
ἐν ἐκείνοις μὲν γὰρ οὐδαμῶς
τὸ μέρος σημαντικόν,
ἐν δὲ τούτοις βούλεται μέν,
ἀλλ᾽ οὐδενὸς κεχωρισμένον,
οἷον ἐν τῷ ἐπακτροκέλης
τὸ κελης. τὸ δὲ κατὰ συνθήκην,
ὅτι φύσει τῶν ὀνομάτων οὐδέν ἐστιν,
ἀλλ᾽ ὅταν γένηται σύμβολον·
ἐπεὶ δηλοῦσί γέ τι καὶ οἱ ἀγράμματοι ψόφοι,
οἷον θηρίων,
ὧν οὐδέν ἐστιν ὄνομα [...]
῾Ρῆμα δέ ἐστι τὸ προσσημαῖνον χρόνον,
οὗ μέρος οὐδὲν σημαίνει χωρίς·
ἔστι δὲ τῶν καθ᾽ ἑτέρου λεγομένων σημεῖον.
λέγω δ᾽ ὅτι προσσημαίνει χρόνον,
οἷον ὑγίεια μὲν ὄνομα, τὸ δ᾽ ὑγιαίνει ῥῆμα·
προσσημαίνει γὰρ τὸ νῦν ὑπάρχειν.

(Αριστοτέλη, *Περὶ ἑρμηνείας* I 16a1–b9)